[Marginal addition:] Πρόδρομε προφῆτα καὶ βαπτιστά· κῆρυξ μετανοίας· ὁ τῆς στείρας θεόθεν βλαστός· ἐρήμου τὸ θρέμμα· ὦ προφητῶν τὸ κλέος· πρόσδεξαι δέησιν ὑπὲρ τῶν δούλων σου:–

λιμήν· τὴν σκέπην μεταλλάσσω(?)· ὁ μυρίων δὲ ῥυσθείς(?)· παρὰ τῆς σῆς ἀπολαύσας ἀγαθοδώρου ὑπὸ τῆς· ἀλλά μου πρόσχες θεία κόρη· καὶ σῶσον ὥρα τῆς ἐπάρσεως(?):– ἕτερος ἦχος δ'. οὗ ἡ ἀκροστιχίς· Τέταρτον ᾆσμα σοὶ πλέκω θεηγόρε· … ᾠδὴ α'. ἦχος δ'. Ὁ πατάξας Αἴγυπτον:

Τὸ τῆς στείρας γέννημα· καὶ τῆς ἐρήμου βλάστημα· τὸν ἄγγελον τοῖς τρόποις· μετὰ σαρκὸς ἐμφανέντα· τὸν τοῦ Χριστοῦ πρόδρομον· ᾠδαῖς παναρμονίοις ὑμνολογήσωμεν:–

Ἐκ τῆς γῆς αὐλὴν θείαν προσανατείλας(?)· πρόδρομε μηνύεις ἀνακύπτειν· ἐξ οὗ δικαιοσύνην(?) … ἄβυσσον· ἀφ' ἧς ὁμιλήσαντες σωθῶμεν(?):–

Τοῦ νοὸς τὴν πώρωσιν· καὶ τῆς ψυχῆς τὴν στείρωσιν· διάλυσον, ὁ λύσας στείρωσιν καὶ μητρὸς ὠδῖνας· καὶ γεωργεῖν δίδου μοι· εὐφόρους μετανοίας ὡραίους βότρυας:–

Ἀσιτίαν ἄμετρον· σκληραγωγίαν σύντονον· ἐσχάτην ἀσαρκίαν· ὡς δὲ ἀγγέλων ἐπεδείξω· ἀγγελικὲ πρόδρομε· βιῶν μετὰ τῆς ὕλης καὶ πρὸ τῆς λύσεως:–

Ῥητορεύων ἄνωθεν· ὁ Γαβριὴλ ἐφίσταται· καὶ χαῖρέ σοι κραυγάζει· Παρθένε κεχαριτωμένη· χαῖρε χαρᾶς σκήνωμα· τρυφῆς … διαρράγου(?)· χαῖρε παράδεισε:–

ᾠδὴ γ'. Ἐστερεώθη ἡ καρδία μου:–

Τοὺς ἐν τῷ νόμῳ καὶ πρὸ νόμου· καὶ μετὰ τὸν νόμον· ὑπερῆρας δικαίους Ἰωάννη· τὸν Θεὸν … ἐκήρυξας· σὺ σεσαρκωμένον· ἐν Ἰορδάνῃ ἐβάπτισας:–

Οὐκ ἐφικνεῖται τοῦ μεγέθους τῆς σῆς ἀξίας· καὶ τοῦ ὕψους τῆς δόξης σου προφῆτα· ἀνθρώπων ἐγκωμίων ἔπαινος· πάντα γὰρ κατόπιν χωρεῖ τῆς σῆς ἁγιότητος:–

UNIVERSITÄTS-BIBLIOTHEK HEIDELBERG
BIBLIOTECA APOSTOLICA VATICANA
© Biblioteca Apostolica Vaticana
The Polonsky Foundation
https://digi.ub.uni-heidelberg.de/diglit/bav_pal_gr_138/0308